Ακαδημία Αθηνών / Academy of Athens

βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον· καὶ ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ παῖδες, τό, Ὡσαννά Σοι προσφέροντες, διαφύλαξον, ὅπως ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου Ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΙΣΟΔΙΚΑ

## τῶν δεσποτικῶν Ἑορτῶν.

Τὰ ἐν τῇ μικρᾷ εἰσόδῳ τῆς θείας Λειτουργίας. Μετὰ τό, Σοφία, ὀρθοί. Ψαλλόμενον εἰς ἦχον β'.

### Εἰς τὴν Χριστοῦ Γέννησιν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά Σε· ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθεὶς ψάλλοντάς Σοι Ἀλληλούϊα.

### Εἰς τὰ ἅγια Θεοφάνεια.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

### Εἰς τὴν Ὑπαπαντήν.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ· ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὸν Εὐαγγελισμόν.**

Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Τῇ Κυριακῇ τῶν Βαΐων.**

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα καὶ καθ' ὅλην τὴν διακαινήσιμον ἑβδομάδα.**

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὴν ἁγίαν Ἀνάληψιν.**

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

**Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς καὶ τῇ Δευτέρᾳ τοῦ ἁγίου Πνεύματος.**

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει Σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας Σου.

Σῶσον ἡμᾶς παράκλητε, ἀγαθέ, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὴν ἁγίαν Μεταμόρφωσιν.**

Ὅτι παρὰ Σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί Σου ὀψόμεθα φῶς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

**Εἰς τὴν Ὕψωσιν τοῦ τιμίου Σταυροῦ.**

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς Σοι Ἀλληλούϊα.

---

# ΑΠΟΛΥΣΕΙΣ

## τῶν Δεσποτικῶν ἑορτῶν.

Λεγόμεναι κατὰ τάξιν.

Εἰς τὸν Ἑσπερινόν, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν.

**Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν.**

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ